Ακαδημία Αθηνών / Academy of Athens



Σ. Λάμπρος, «Ταβουλλαρικὸν γράμμα τοῦ ΙΔ' αἰῶνος», *ΔΙΕΕΕ* 5/17 (1896), σ. 159-160.

## 1γ

1327-1449. Νοταριακές πράξεις. Γένοβα, Χάνδακας, Χίος.

Angeliki Laiou, «The Greek merchant of the Palaeologan period: a collective portrait», *Πρακτικὰ τῆς Ἀκαδημίας Ἀθηνῶν* 57 (1982), σ. 123-124, αρ. 1, 4.

## 2

1355. Ιδιωτικό δικαιοπρακτικό έγγραφο. Παλάτια (Μίλητος, Μ. Ασία).

Μ. Μανούσακας, «Ἡ πρώτη ἐμπορικὴ παροικία τῶν Βενετῶν στὰ Παλάτια (Μίλητο) τῆς Μ. Ἀσίας», *ΔΧΑΕ* 3 (1962-1963), σ. 234-235.

*ΑΓΟΡΑΠΩΛΗΣΙΑ ΖΕΥΓΟΥΣ ΔΟΥΛΩΝ. ΡΥΘΜΙΖΕΤΑΙ ΛΕΠΤΟΜΕΡΩΣ Η ΚΑΤΑΣΤΑΣΗ ΤΗΣ ΔΟΥΛΕΙΑΣ*

*1355, 27 Ιανουαρίου*

*«... Ἐν τῷ ὀνόματι τοῦ Χριστοῦ ἀμήν. ἐν ἔτι χιλιοστῷ τριακοσιοστῷ πεντικοστῷ πέμπτω ἀπὸ τῆς ἐνσάρκου οἰκονομίας, ἡμέρα Παρασκευῇ ἐν τῷ οἴκω τοῦ μισὲρ Φρατζέσκω Βλάγκω εἰς τὰ Παλάτια. Ἐγὼ Γεώργιος ὁ Ἀθηναῖος πιπράσκω εἰς τὸν Ἀντώνιον τὲ Μαντέλλον τὸν δουλον μου, ὃν ὠνησάμην ἐξ οἰκείων πόνων καὶ ἀναλωμάτων, τὸν Γεώργιον τὸν Τρούλον τὸν ἀπ' Ἀθήνας μετὰ καὶ τῆς συμβίου αὐτοῦ Ξένης ὀνομασμένης, εἰς φλωρία τεσσαρακονταέξ. καὶ ποιῶ συμφωνίαν μεταυτοῦ. Ἐπειδὴ πολλὰ ἠνάλωσα διὰ τὴν ἀγωρὰν αὐτῶν καὶ ἐξ ἐκείνων ἀφήκα διὰ τὴν ψυχήν μου ὡς ἵνα δουλεύσει τὸ ἀνδρόγινον τὸ εἰρημένον τὸν ἄνωθεν τὲ Μαντέλλον χρόνους πέντε. Καὶ μετὰ τούτους τοὺς πέντε χρόνους νὰ ἐπιδίδει ὁ εἰρημένος Γεώργιος ὁ Τροῦλλος εἰς τὸν εἰρημένον Ἀντώνιον τὲ Μαντέλλον φλουρία τριάκοντα, τὰ δεκαὲξ νὰ της τα χαρίζει· εἰς γὰρ τεσσαράκονταεξ ὠνησάμην αὐτούς. Εἶ δὲ καὶ ἔλθη ἀπὸ τὸν τόπον του κανεὶς ἄνθρωπος ἢ ἀπάλλοθεν, να τὸν δώσουν καρτζία να εὑγεῖ ἢ αὐτὸς να δίδη ὁσάν εὕρει τὰ φλωρία τῆς ὅλλης τιμῆς τὰ τεσαράκονταὲξ νὰ ἔνει ἐλεύθερος. καὶ ὧσον ἂν δουλεύσει αὐτοῦ, νὰ ἔνει ἡ δούλευσις προίκα καὶ να μηδὲν ἀπετεῖ τίποτις χάρις τοῦ κόπου του. Τὸ δὲ παιδίον τοῦ Γεωργίου τοῦ Τρούλλου ἐλευθέρωσα ἐγὼ καὶ ἔστιν ἔξω ἀπὸ τὴν παρούσαν συμφωνίαν εἰς πάσαν ὄρεξιν καὶ θέλησιν αὐτοῦ ὡς ἐλεύθερον καὶ ἀκαταδούλωτον καὶ οὐδὲ ὁ εἰρημένος κὺρ Ἀντόνιος ἔχει εἰς αὐτὸν τὴν τυχουσαν ἐξουσίαν καὶ ἐτοῦτον ἐγένετον μὲ ὅλλην ὄρεξιν καὶ θέλησιν τοῦ κὺρ Ἀντονίου του τε Μανδέλω. ἐπὶ παρουσία τῶν κεκλημένων ἀξιοπίστων μαρτύρων τοῦ τε μισερ Φρατζέσκο Βλάγκω καὶ κὺρ Γαβρηῆλ Λόνγκω καὶ Μάρκω τῶν παρατυχώντων καὶ ἀσφαλισάντων ταῖς οἰκείαις ὑπογραφαῖς συνάμα τοῦ κὺρ Μιχελετω Ακαρδω καὶ τοῦ γεγραφώτος ταύτην Μιχαῆλ τοῦ Μοσχοπούλου.*

*Io Francesco Blanco testemio clamadho de questo soura scripto.*

*Ἐγὼ Γαβριὴλ ὁ Λόγγος ὁμολογῶ ὅτι εἶμαι μάρτυρας παρακαλετὸς εἰς τὴν ἄνωθεν διλουμένην γραφήν.*

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ